*Phaedra admits her affliction to her nurse*

Φαίδρα ὦ τλῆμον, οἷον, μῆτερ, ἠράσθης ἔρον.
Τροφός ὃν ἔσχε ταύρου, τέκνον, ἢ τί φῄς τόδε;
Φαίδρα σύ τ', ὦ τάλαιν' ὄμαιμε, Διονύσου δάμαρ.
Τροφός τέκνον, τί πάσχεις; συγγόνους κακορροθεῖς;
Φαίδρα τρίτη δ' ἐγὼ δύστηνος ὡς ἀπόλλυμαι.
Τροφός ἔκ τοι πέπληγμαι· ποῖ προβήσεται λόγος;
Φαίδρα ἐκεῖθεν ἡμεῖς, οὐ νεωστί, δυστυχεῖς.
Τροφός οὐδέν τι μᾶλλον οἶδ' ἃ βούλομαι κλύειν.
Φαίδρα φεῦ·
πῶς ἂν σύ μοι λέξειας ἁμὲ χρὴ λέγειν;
Τροφός οὐ μάντις εἰμὶ τἀφανῆ γνῶναι σαφῶς.
Φαίδρα τί τοῦθ' ὃ δὴ λέγουσιν ἀνθρώπους ἐρᾶν;
Τροφός ἥδιστον, ὦ παῖ, ταὐτὸν ἀλγεινόν θ' ἅμα.
Φαίδρα ἡμεῖς ἂν εἶμεν θατέρῳ κεχρημένοι.
Τροφός τί φῄς; ἐρᾷς, ὦ τέκνον; ἀνθρώπων τίνος;
Φαίδρα ὅστις ποθ' οὗτός ἐσθ', ὁ τῆς Ἀμαζόνος. . .
Τροφός Ἱππόλυτον αὐδᾷς;
Φαίδρα σοῦ τάδ', οὐκ ἐμοῦ κλύεις.
Τροφός οἴμοι, τί λέξεις, τέκνον; ὥς μ' ἀπώλεσας.
γυναῖκες, οὐκ ἀνασχέτ', οὐκ ἀνέξομαι
ζῶσ'· ἐχθρὸν ἦμαρ, ἐχθρὸν εἰσορῶ φάος.
ῥίψω μεθήσω σῶμ', ἀπαλλαχθήσομαι
βίου θανοῦσα· χαίρετ', οὐκέτ' εἴμ' ἐγώ.
οἱ σώφρονες γάρ, οὐχ ἑκόντες ἀλλ' ὅμως,
κακῶν ἐρῶσι. Κύπρις οὐκ ἄρ' ἦν θεός,
ἀλλ' εἴ τι μεῖζον ἄλλο γίγνεται θεοῦ,
ἥ τήνδε κἀμὲ καὶ δόμους ἀπώλεσεν.

Euripides Hippolytus 337-361
1B 5 2011